
Ὁ μάγος Ὄζου



Πάλαι νεφέλη θαυμαστή τις ἐκῖνεῖτο πρὸς τὸ Κανσικὸν χωρίδιον, ὅπου Δωροθέα μετὰ τοῦ θείου τε καὶ τῆς θείας ᾤκει.



Δωροθέα δὲ καθημένη ἐπὶ κλῖμακος τῆς θύρας μετὰ τοῦ κυναρίου Τώτου ἐθαύμαζεν τὴν νεφέλην τε καὶ τὸν στεναγμὸν αὐτῆς.



Τότε μὲν ὁ θεῖος Ἐνρῖκος τρέχων παρῆλθε παρὰ τὴν οἰκίαν, τῇ θείᾳ Ἔμμῃ ἐν φόβῳ βοῶν. Δωροθέα δ' ἐβούλετο μαθεῖν περὶ τῆς δυνάμεως πρηστῆρος ὁπόση εἴη.



Ἡ δὲ θεία Ἔμμα, ἀνοίξασα τὸ τοῦ ὑπογείου θυρίδιον, κατέβαινε φωνῇ τρεμούσῃ βοῶσα.



Ἀλλὰ καὶ ὁ Τωτίσκος ἐμπεπληγμένος ἐσκίρτησεν ἐκ τῶν τῆς Δωροθέας βραχιόνων. Ἡ δ' ὡς αἱρήσουσα αὐτὸν εἵρπυζεν ὑπὸ τὴν κλῖνην.



Ἐξαίφνης τὸ μὲν ἔδαφος δεῦρο κἀκεῖσε ἐσαλεύετο. Ἡ δὲ κόνις διὰ τοῦ θυριδίου εἰς μέσον ἐξεβράζετο. Διὸ ἡ Δωροθέα ἔπταρεν.



Ἡ δ' οἰκία βραδέως ἐδινεῖτο, τοῦ πρηστῆρος ἀναφέροντος αὐτὴν εἰς τὸν οὐρανὸν ὑπὲρ τῶν ἀποθηκῶν τε καὶ τοῦ θείου Ἐνρίκου.



Ὁ δὲ Τῶτος, ὀλισθών πως εἰς τὸ θυρίδιον ἀνεῳγμένον, οὐ πολὺ κατερρύη, ὅτι ὁ βαρὺς τοῦ πρηστῆρος ἀὴρ ἀνεῖχεν αὐτόν.



Ἐπειδὴ Δωροθέα τὸ θυρίδιον κατέκλεισεν, ὁ μὲν τῶν χαλεπῶν ἀνέμων πάταγος ἠλαττώθη, ἡ δὲ δίαιτα ἐγένετο σκοτεινή.



Χρόνου δὲ προβαίνοντος, οὐκ ἐγίγνετο οὐδεμία τροπὴ τοῦ τε θαυμασίου κνέφους καὶ τῆς οἰκίας ἐπ' ἄκρου τοῦ πρηστῆρος μαλακῶς αἰωρουμένης.



Δωροθέα δέ, πάντως ἀγνοοῦσα πόσον χρόνον κοιμηθείη, δούπῳ δή τινι ἀνηγέρθη, ὥσπερ εἰ ἡ οἰκία ἐπὶ τῆς γῆς κατέπεσεν.





Καὶ Δωροθέα ἐξελθοῦσα εἶδεν ἀστεῖα ἀνθρωπάρια τρία, οἳ πρὸς αὐτὴν εὐνοϊκῶς προσγελῶντες προσῇσαν.



Ἡ δὲ πρεσβῦτις διηγήσατο τέσσαρας γοήτιδας ἐν γῇ Ὄζου γενέσθαι, τὼ μὲν ἀγαθά, τὼ δὲ πονηρά.



Δωροθέα δέ, τῷ τῆς ἀγαθῆς γοήτιδος λόγῳ ταραχθεῖσα, ἐπεμαρτύρατο [ῡ] οὔτε οὐδένα ποτὲ ἀποκτεῖναι, οὔτε βούλεσθαί ποτε.



Καὶ μᾶλλον ἐταράχθη ἐπεὶ ἐπιστραφεῖσα εἶδεν ἐμβάδε ἀργυρᾶ ἐξ ὑπὸ τῇ οἰκίᾳ ἐξεχούσᾱ.



Καὶ Δωροθέα, πόθῳ τῆς πατρίδος ληφθεῖσα, ἐξηρεύξατο τὸ πρῶτον ἐπὶ νοῦν αὐτῇ ἐληλυθός.



Ἡ δ' ἀγαθὴ γοῆτις, περιαγαγοῦσα τὸν πέτασον ἐπὶ τῆς ῥινός, διηγήσατο αὐτὴ μὲν δεῖσθαι τῆς ἔξω τῆς γῆς Ὄζου ἐξουσίας, ...

Πορευθεῖσα εἰς τὴν Σμαραγδούπολιν, αἴτησον τὸν μέγαν μάγον Ὄζου.

Πάνυ γε.

Πάνυ γε.

Πάνυ γε.

... εἴ τις δὲ Δωροθέαν εἰς Κανσίαν ἀναπέμψαι δύναιτο, τοῦτον ἂν εἶναι τὸν μάγον Ὄζου, εἰ δὴ βούλοιτο.



Ἡ μέντοι πλίνθοις ξανθαῖς ἐστρωμένη ὁδὸς ἔλαθε Δωροθέν ἕως ἡ ἀγαθὴ γοῆτις τῶν βορείων ἐκείνην αὐτῇ ἔδειξεν.



Ταχὺ δὲ ἐπικειμένη ἡ ἀγαθὴ γοῆτις ἔδωκε φίλημα ὥστε Δωροθέαν δι' ἑαυτῆς ἡδέως μυρμηκίζειν.



Ἔπειτα, ὡσανεὶ βέμβριξ δινουμένη, ἡ ἀγαθὴ γοῆτις ταχὺ "λιάσθη ἐς πνοιὰς ἀνέμων" [Ὁμήρου Ὀδύσσεια, δ', ωλη']. Τοῦτο δὴ Δωροθέα πως ἀνέμενεν.



Δωροθέα δὲ ζητήσασα τὰ τῆς πονηρᾶς γοήτιδος ἀργυρᾶ ὑποδήματα εὗρεν αὐτὰ κενὰ ὄντα. Ἡ γὰρ αὐτὰ σχοῦσα ἦν ἐξηρασμένη τε καὶ ἀναπεφῦσημένη.



Καὶ Δωροθέα ὑποδήσασα τἀργυρᾶ ὑποδήματα ἔκρῖνεν αὐτὰ εἰς τὸ πολὺ πορεύεσθαι ἀμείνω εἶναι τῶν ἑαυτῆς παλαιῶν τετριμμένων.



Δωροθέα οὖν, συσκευασαμένη μὲν σῖτον ἐν κίστῃ, φοροῦσα δὲ τὸ κάλλιστον ἱμάτιον [ῖμ] κυανῆ τε καὶ λευκὰ ἔχον τετράγωνα, ὥρμησεν.



Καὶ, βαδίσασα στάδια ὀκτὼ ἢ πορρωτέρω, ἤκουσε φωνῆς λεπτῆς τινος καλούσης αὐτήν. Ἀναβλέψασα οὖν εἶδεν φόβητρον.



Τὸ δὲ φόβητρον ἔφη πολλῷ κάλλιον ἔχειν ἄν, εἰ Δωροθέα ἀφαιρῇ τὸ δόρυ αὐτὸν ἀνέχον.



Τὸ μὲν πρῶτον Δωροθέα, ἰδοῦσα φόβητρον ἀνεστός τε καὶ λαλοῦν, οὕτως ἐθαύμασεν ὥστε ὅσον οὐκ ᾐσθάνετο τῶν ὑπ' αὐτοῦ λεγομένων.



Τὸ δὲ φόβητρον ἐξηγήσατο οὔποτε ἂν μέλλειν γιγνώσκειν τι, εἰ μὴ εὕροι ἐγκέφαλόν τινα ἀληθινὸν ὡς τῇ κεφαλῇ αὐτοῦ ἐμβληθησόμενον.




Ἐξαίφνης δὲ Δωροθέα ἐλογίσατο θαυμαστόν τι · τάχ' ἂν γὰρ τὸν μάγον Ὄζου διδόναι τῷ φοβήτρῳ ἐγκέφαλόν τινα ἀληθινόν.



Τὸ δὲ φόβητρον, τῇ Δωροθέας γνώμῃ εὐφρανθέν, ἔβαινε σὺν αὐτῇ ἕως στεναγμὸς ἀήθης τις ἐκ τῆς ὕλης [ῡ] ἐξηκούσθη.



Ὁ δὲ κασσιτέρινος ξυλεὺς ἑστήκει ἀκίνητος [ῑ], πλὴν τῶν γνάθων ὅσον οὐ κῑνουμένων ἀλλὰ ψοφουσῶν.



Δωροθέα οὖν, εὑροῦσα τὴν τοῦ κασσιτερίνου ξυλέως λήκυθον οὐ μακρὰν κειμένην, ἤλειψε πάντα τὰ ἄρθρα αὐτοῦ μέχρις οὗ ἐκεῖνος ἐδυνήθη εὖ κῑνεῖν αὐτά.



Ἐπεὶ ἐκείνη ἐπαύσατο, ὁ κασσιτέρινος ξυλεὺς ὄρχησιν μὲν ἐποιήσατο, οὐδενὸς ἄρθρου τριγμὸν ἕνα ἀφιέντος, ὃν δ' ᾐτήσατο.



Τὴν γὰρ πονηρὰν γοήτιδα, εἶπεν, αἰτίαν γενέσθαι τοῦ αὐτὸς αὖθις καὶ μάλα τέμνεσθαι μέχρις οὗ ὅλον τὸ σῶμα εἰς κασσίτερον μεταβάλοι.



Ὁ δὲ κασσιτέρινος ξυλεὺς, νομίσας τὴν τῆς Δωροθέας γνώμην βελτίστην εἶναι, εἶπεν οὐ μὴ ἐρασθήσεσθαι πρὶν καρδίαν λάβοι.



Ἐπειδὴ οὐ μακρὰν διὰ τῆς ὕλης [ῡ] ἐβάδισαν, λέων μέγας καὶ δεινῶς ὠρῡόμενος ἐξεπήδησε πρὸ αὐτῶν.



Καὶ ὁ λέων, τῷ ποδὶ πλήξας, ἀνῆκε τὸ ἄθλιον φόβητρον. Καλῶς δὲ συνέβη οὐδὲν ὀστοῦν ῥηκτὸν τῷ φοβήτρῳ εἶναι.



Μετὰ ταῦτα καθῆκε τὸν κασσιτέρινον ξυλέα. Οἱ δ' ὄνυχες αὐτοῦ ἐκ τοῦ κασσιτέρου ὀλισθήσαντες οὐδ' ἄρα γ' ἔξυσαν.



Ἔπειτα ὁ μὲν ἀγαθὸς Τωτίσκος ἐφώρμησεν ὡς τῇ δεσποίνῃ ἀμῡνῶν, ὁ δὲ λέων ἀνέῳξε τὸ μέγα στόμα ὥσπερ δηξόμενος.



Οὐδ' ἐδυνήθη Δωροθέα τοῦτο ἀνέχεσθαι. Ἐπιλαθομένη γὰρ τοῦ κινδύνου οὕτως ἔπληξε τὸν Λέοντα ὥστε αὐτὸς ὁρῶν τοὺς ἀστέρας καὶ θαυμάζων ἔθρισεν.



Καὶ ὁ Λέων λύζων ὡμολόγησεν ὠμῶς πράσσειν τοῦ τοὺς ἀνθρώπους φοβεῖν, ἀλλὰ μᾶλλον αὐτὸς ἢ ἐκείνους φοβεῖσθαι.






Ὁ οὖν δειλὸς λέων ἀπομαξάμενος τὰ δάκρυα ἤλπιζεν. Καὶ ὁ μὲν ᾐτήσατο συγγνώμην τοῦ φοβήτρου τε καὶ τοῦ ξυλέως, πάντες δὲ προύβησαν.



Μακρὰν δὲ πορευθέντες, ἀφίκοντο εἰς ποταμὸν οὕτως εὐρὺν καὶ ταχὺν ὥστε πάσας ἐλπίδας δοκεῖν αὐτοῖς ἀπολωλέναι.



Μόνον δ' ὁ κασσιτέρινος ξυλεὺς οὐκ ἐφαίνετο ἄχθεσθαι. Ἀλλὰ κατέκοπτε τὰ ὑψηλὰ δένδρα τὰ παρὰ τὸν ποταμὸν φυόμενα.



Καὶ ἀποκόψας μὲν τοὺς κλάδους, ταμὼν δὲ τὰ δένδρα εἰς δοκούς, ἐξ αὐτῶν τοσαύτην σχεδίαν ἐποίησεν ὅσαν δέχεσθαι αὐτοὺς πάντας.



Ἡ δὲ σχεδία εἶχε τοσοῦτο μέγεθος καὶ τοσοῦτο βάρος ὥστε οὐκ ἐδυνήθησαν αὐτὴν κῑνεῖν πρὶν Δωροθέα ἐνὶ ταινιδίῳ ἔδησε τὴν τοῦ λέοντος οὐρὰν πρὸς αὐτήν.



Τοῦ δὲ ξυλέως μακρὰ δόρη ταμόντος, αὐτοῖς ἐπήγαγον τὴν σχεδίαν εἰς μέσον τὸν ποταμὸν τὸν ταχέως ῥέοντα.



Ἐκεῖ δ' εἰς κίνδυνον ἐνέβησαν. Ἡ γὰρ δύναμις τῶν ὑδάτων οὕτω ταχέως ἐδίνευεν αὐτοὺς κατὰ τὸν ποταμὸν ὥσπερ ἵππος τις τρέχοι ἄν.



Ὁ δὲ δειλὸς λέων, ὡς διὰ τὸ ψῦχος φρίσσων, φωνῇ ἐλάλησε τρομώδει ἣν μόνος ὁ κασσιτέρινος ξυλεὺς συνῆκεν.



Καὶ μᾶλλον φρίσσων ὁ μὲν λέων κατεπήδησεν ἀπὸ τῆς σχεδίας εἰς τὸ ταχὺ ὕδωρ. Δωροθέα δ' ἡγήσατο αὐτὸν ἄριστον.



Ὁ μὲν οὖν λέων πληγαῖς βιαίοις τέλος ἤνεγκε τὴν σχεδίαν αὐτοῖς τοῖς ἑταίροις εἰς τὸ πέραν, μόλις δ' ἐξέφυγον.



Ὕστερον δ' ἔβαινον ἀνὰ ποταμὸν παρὰ ὄχθην μήκωσι μεγαλοπρεπέσι δασεῖαν, οὐκ οἶδα πόσων πλέθρων.



Οὐδεὶς μὲν αὐτῶν ᾔδει τὴν τοσούτων μηκώνων ὀσμὴν εἰς ὕπνον τρέψαι δυναμένην, αὐτίκα δ' ἐπύθοντο.




Δεόμενοι δὲ πνευμόνων τοῦ πνεῖν, οὔτε τὸ φόβητρον οὔθ' ὁ κασσιτέρινος ξυλεὺς ᾐσθένησαν, ἀλλ' ἐπὶ τοῖς φίλοις ἐλῡποῦντο.



Τὸ δ' οὖν φόβητρον καὶ ὁ κασσιτέρινος ξυλεὺς ἐποιήσαν ὡς φορεῖόν τι τοῦ φέρειν Δωροθέαν τε καὶ Τῶτον, ἀλλ' ὑπὲρ τοῦ λέοντος οὐκ ἐδυνήθησαν ποιεῖν οὐδέν.



Δωροθέα μέν τε καὶ Τῶτος, ἀποσχόντες τῶν μηκώνων, ἐγέρθησαν. Ὁ δὲ κασσιτέρινος ξυλεὺς θῡμούμενος ἔδειξεν.




Καὶ ὁ μὲν κασσιτέρινος ξυλεὺς οὕτω σείων τὴν ἀξίνην ἐπεπήδησεν ὥστε φοβῆσαι τὸν αἴλουρον. Ὁ δὲ μῦς εὐθὺ παρέδραμεν αὐτόν.



Τὸ δὲ μυΐδιον εἶχε στεφανίσκον ἐπὶ τῆς κεφαλῆς. Καὶ εἶπε πολλοὺς τῶν ὑπ' αὐτῷ πλήσιον εἶναι.



Ἔπειτα Δωροθέα εἶπε τῇ τῶν μύων [ῡ] βασιλίσσῃ ὅτι ὁ φίλος αὐτῶν ὁ δειλὸς λέων ἀποθνῄσκοι ἄν, εἰ μὴ αὐτίκα σῴζοιτο.




Ὁ δὲ ξυλεὺς ἐκέλευσε τὴν βασίλισσαν τοῖς ὑπ' αὐτῇ παραγγεῖλαι ὅπως ἕκαστος σπεύδων παρέξει μακρὰν μήρινθόν τινα.




Ἐπεὶ οἱ μύες ὡς μήρινθον ζητήσοντες ἀπῆλθον, ὁ κασσιτέρινος ξυλεὺς κατακόψας ἄλλα δένδρα τινὰ ἔταμεν αὐτὰ εἰς δοκούς.




Ὅτε οἱ πρῶτοι μύες ἐπανήεσαν ἔχοντες τὰς μηρίνθους, τότε ὁ ξυλεὺς σχίσας σανίδας τε καὶ κνήμας ἐπεποιήκει ἅμαξαν.



Πάντες δ' οἱ μύες ὑποστραφέντες, ζεύγους ἐκ τῶν μηρίνθων ποιηθέντος, εἵλκυσαν διὰ τῶν μηκώνων τὴν ἅμαξαν παρὰ τὸν καθεύδοντα λέοντα.




Ἔπειτα δὲ τό τε φόβητρον καὶ ὁ κασσιτέρινος ξυλεὺς πόνον ἔχοντες ἔωσαν πολὺν χρόνον ἔστ' ἐπῆραν τὸν λέοντα.



Τέλος δέ, εἰ καὶ τὸ φορτίον ἦν βαρύ, οἱ μὲν μύες ἀνὰ κράτος εἵλκυσαν, οἱ δ' ἄλλοι ἐβοήθησαν ἵνα ὤσειαν ἐπ' ἀσφαλὲς τὴν ἅμαξαν.



Ἡ δὲ βασίλισσα τῶν μύων ὑπέσχετο Δωροθέᾳ, εἴπερ ποτὲ πάλιν δέοιτο βοηθείας, μόνον δεῖν ἂν αὐτὴν καλέσαι.



Ἀμφὶ δ' ἡλίου δύσιν, πορευόμενοι τὴν ξανθὴν ἐστρωμένην ὁδὸν, λόφον ἀνέβησαν ὥστε εἶδον χαρίεσσαν καὶ χλωρὴν αὐγὴν ἐπιλάμπουσαν πύργους.

Καὶ ἰδοὺ ἐν ὄψει αὐτῶν ἡ λαμπροτάτη καλλίστη τε Σμαραγδούπολις.



Προσελθόντες μὲν πρὸς τὰς πύλας, ἐπαύσθησαν. Δωροθέα δ' ἔφη αὐτοὺς βούλεσθαι τὸν μέγαν Ὄζον ἰδεῖν.



Ἐξ οὖν τῆς χλωρᾶς παρ' αὐτῷ κῑβωτοῦ ὁ ἐν ταῖς πύλαις φύλαξ ἔλαβε ζεῦγος διόπτρων ἑκάστῳ τῶν ἑταίρων.



Ἦν δὴ δίοπτρα παντοῖα περονίοις προσπερονώμενα. Διὰ δὲ τούτων ἅπαντα ἦν χλωρὰ ἰδεῖν.



Δωροθέας τε καὶ τῶν φίλων αὐτῆς διὰ τῶν ῥῦμῶν βαινόντων, καὶ τὰ τῶν Σμαραγδουπολίτων [ῑ] πρόσωπα ἦν χλωρὰ ἰδεῖν.



Ἐπειδὴ πρὸς τὰ βασίλεια ἀφίκοντο [ῑ], στρατιώτης τις ἔφη τῆς αὐτῶν ἀγγελίας ἀκούσεσθαι. Τὸν γὰρ μέγαν Ὄζον ἐν μῡρίαις εἶναι ἀσχολίαις.




Ἔπειτα ὁ στρατιώτης ἀναγκάσας αὐτοὺς ποδομάκτρῳ χλωρῷ σμήχειν τοὺς πόδας ἤγαγεν εἰς πρόθυρον χλωρὸν κεκοσμημένον.



Ὁ δὲ δι᾽ ὀλίγου ἐπανῆλθεν ἅμα κομψῇ κόρῃ τινὶ χλωρὸν ἀμπεχομένῃ, ἥπερ εἶπεν ὅτι ἐξείη ἐκείνοις ἐν τοῖς βασιλείοις νυκτερεῦσαι.




Ἡ δὲ κόρη ἀνήγαγεν Δωροθέαν ἐπὶ κλίμακα [ῑ] χλωρὸν εἰς κοιτῶνα μέγαν καὶ λαμπρὸν καὶ χλωρὸν εὖ κεκοσμημένον.



Ἐκείνῃ μὲν τῇ νυκτὶ Δωροθέα ἡδέως ἀνεπαύσατο, πρωῒ δὲ κωδώνιόν τι ἤγειρεν αὐτὴν ὥστε εἶδεν τραπέζιον ἔχον τὸ ἀκρᾱτισμα πρὸς τῇ κλῑνῃ φαινόμενον.



Καὶ Δωροθέα ἡδέως ἀκρᾱτισαμένη ἐνεδύσατο ἐσθῆτα σηρικὸν, χλωρὸν καλόν τε τὸν ἐξ ἕδρας κρεμάμενον. Ἔπειτα δ' ἡ θύρα ἀνεῴχθη.



Τῆς δὲ κόρης τὸν Δωροθέας δεσμὸν ἐπιτελούσης, δίσκος χαλκοῦς ἀντήχησε σημεῖον ὅτι Ὄζος ἀκοῦσαι Δωροθέας ἕτοιμος εἴη.



Ἡ δ' εἰσήχθη εἰς αὐλὴν ὑπερμεγέθη, τὴν φῶς χλωρὸν μαλακόν τε λάμπουσαν καὶ ὄζουσαν ὀσμῆς ἡδίστης.



Δωροθέας δὲ ὡς τὸν ἄνθρωπον ἔχοντα σῶμα μέγιστον καὶ ἐπὶ τοῦ χλωροῦ θρόνου καθήμενον προβαινούσης, ἐκεῖνος ἔλεγε φωνῇ ὀξείᾳ ἡδείᾳ τε.



Ἡσυχῇ δὴ Δωροθέα διηγήσατο πῶς αὐτὴ μὲν ἐδέξατο τὰ ὑποδήματα ἡ δ' ἀγαθὴ γοῆτις τῶν βορείων φιλήματι ἐφύλαξεν αὐτήν.



Ὁ δ' Ὄζος σεμνῶς λέγων ἀπεκρίνατο [ῑ] ὅτι πρὶν αὐτὸς βοηθήσειεν, δέοι Δωρόθεαν ἀποκτεῖναι τὴν πονηρὰν γοήτιδα τῶν δυσμῶν.



Δωροθέα μὲν θῡμουμένη ἐγνώριζεν θατέραν πονηρὰν γοήτιδα ἀπὸ τύχης ἀποθανεῖν. Ὁ δ' Ὄζος οὐκ ἠκροᾶτο.



Καὶ Δωροθέα ἐκ τῆς αὐλῆς ἐξερχομένη οὐκ ἐδυνήθη κατέχειν τὰ δάκρυα. Οὐ γάρ, ἔφη, ἑκοῦσα ἀποκτενεῖν οὐδένα, ἐὰν καὶ μήποτε είς τὴν Κανσίαν κατέλθῃ.



Ὕστερον δ' ἐπεὶ Δωροθέα πρὸς τοὺς φίλους ἐπανῆλθεν, εὐθὺς ᾔδει ἀνάγκῃ καὶ αὐτοὺς παρὰ τοῦ Ὄζου ἀτυχήσαντας.



Ὁ δὲ λέων ὠργίζετο καὶ ἠγανάκτει ὅτι Ὄζος, ὅ τι αὐτὸς φοβοῖτο, τοῦτο αὐτοὺς ποιῆσαι αἰτήσειεν.




Καὶ οὕτω θάρσους χρείαν ἔχειν, ἔφη, ὥστε μόνος ἂν ἰών, εἰ δέοι, ἀπολέσειν τὴν πονηρὰν γοήτιδα.



Ὁ μὲν κασσιτέρινος ξυλεὺς εἶπεν ὅτι ἴοι, τὸ δὲ φόβητρον οὐκ ἔφη ἑαυτῷ ἐγκέφαλον εἶναι ὥστε βέλτιον τι βουλεύσασθαι.




Δωροθέα δ', οὐχ ὑπομένουσα ἀπαλλάξασθαι τῶν φίλων, ὡμολόγησε λέγουσα ὅτι τάχ᾿ ἄν ἡ πονηρὰ γοῆτις ἐσχάτῳ γήρᾳ ἀποθάνοι ἢ ἁμῶς γέ πως.



Ἐπεὶ τὴν ὡς τὴν πονηρὰν γοήτιδα ὁδὸν τοιαύτην εἶναι πύθοιντο ὥστε πρὸς ἑσπέραν βαδίζειν, Δωροθέα τε καὶ οἱ φίλοι ἀφώρμησαν.



Πᾶσαν δὲ τὴν δείλην πρὸς ἡλίου δυσμὰς διὰ ἀγρῶν ἀπείρων ἠνθισμένων τε βαδίσαντες, μάλ' ἔκαμον.



Τὸ δὲ τελευταῖον Δωροθέα μὲν καὶ Τῶτος καὶ ὁ δειλὸς λέων κατέκειντο ὡς ἀναπαυσόμενοι, τὸ δὲ φόβητρον καὶ ὁ κασσιτέρινος ξυλεὺς οὐκ ἐδέοντο ὕπνου.



Ἡ μὲν πονηρὰ γοῆτις τῶν δυσμῶν ἑτερόφθαλμος ἦν, ἡ δ' ὄψις αὐτῆς χάριν τοῦ ἰσχῡροῦ τηλεσκοπίου ἐπὶ πλεῖστον ἀφικνεῖτο.



Καὶ ἐκείνη, ἀπὸ μακρόθεν ἰδοῦσα Δωροθέαν τε καὶ τοὺς ἑταίρους αὐτῆς καὶ ὀργισθεῖσα, ἐφύσησεν [ῡ] αὐλὸν μαγικὸν ἀργυροῦν τε τὸ ἐκ τοῦ τραχήλου αὐτῆς κρεμάμενον.



Τοῦ δὲ ἀργυροῦ αὐλοῦ φθεγξαμένου, λύκοι μεγάλοι καὶ ἄγριοι δρόμῳ ἀφίκοντο ὡς τῇ πονηρᾷ γοήτιδι πεισόμενοι.



Ὁ μὲν κασσιτέρινος ξυλεὺς πρῶτος εἶδε τοὺς λύκους, τὸ δὲ φόβητρον ἔγειρε Δωροθέαν τε καὶ τὸν δειλὸν λέοντα. Τοῦτο δ' οὐ ῥᾴδιον.



Ὁ δὲ δειλὸς λέων ἰδὼν τὰ θηρία ἐπ' αὐτοὺς ἐπιτρέχοντα, ἔτρεμε μὲν ὅλον τὸ σῶμα, ἔπραξε δ' ἐπιμελῶς ὥστε ἀγαθὸν παρέχειν αὐτόν.



Ἐν μὲν δὴ ταὐτῷ οἱ λύκοι περιέσχον αὐτούς. Ὁ δὲ ξυλεὺς καθ' ἑκάστην πληγὴν κατέβαλλεν ἕνα, ὁ δὲ λέων καὶ ἄμεινον ἔπρασσεν.



Ἡ δὲ πονηρὰ γοῆτις, ἰδοῦσα τοὺς λύκους φεύγοντας, ἤρξατο μαίνεσθαι καί, ἄρασα [ᾱρ] τὸν μαγικὸν αὐλόν, δὶς ἐφύσησεν [ῡ].



Αὐτίκα μὲν μελισσῶν μεγάλων μελάνων τε ἑσμός τις ὤφθη. Ἡ δὲ πονηρὰ γοῆτις οὕτως ὀργιζομένη ἦν ὥστε ὅσον οὐκ ἐδύνατο ἐντολὰς αὐταῖς δοῦναι.



Ὁ μὲν βαρὺς τῶν μελισσῶν βόμβος μᾶλλον ἐφόβει Δωροθέαν ἢ ἐδυνήθησαν οἱ λύκοι, τὸ δὲ φόβητρον ᾔδει τί πρακτέον εἴη.



Τὸ μὲν ταχὺ τὴν χεῖρα ἔσω ὄρεξαν ἐξεῖλεν καλάμην ἀρκοῦσαν σκεπάζειν Δωροθέαν καὶ τοὺς ἄλλους, ὁ δὲ ξυλεὺς ἔσκωπτε τὰς μελίσσας.



Οὐδὲν δ' ἰδοῦσαι πρὸς ὅπερ ἐφορμῷεν ἄν, πᾶσαι αἱ μέλισσαι, οὐδενὸς βλαφθέντος, ἤμβλῡναν τὰ κέντρα ἐπὶ τὸ τοῦ ξυλέως κασσιτέρινον σῶμα.



Ἔπειτα ἀπέπτοντο, οὐ δυνάμεναι οὐδὲν οὔποτε αὖ κεντῆσαι. Ἐκ δ' ὑπὸ τῇ καλάμῃ ἐξῆλθον Δωροθέα καὶ ὁ λέων καὶ Τῶτος.



Χάριν δ' εἰδυῖα Δωροθέα ἐβοήθησεν ὥστε τὸ φόβητρον σάττεσθαι, λέγουσα ὅτι ἐκεῖνο οὐκ ἔχον ἐγκέφαλον φρονιμώτερον πάντων αὐτῶν εἴη.



Ἀλλὰ μὴν ἡ πονηρὰ γοῆτις οὐκ ἔληγεν. Καί, λαβοῦσα τιάρᾱν [ᾱ] μαγιτὴν μαγικὴν τιάρᾱν [ᾱ]κήν, ἐκάλεσε τοὺς πτηνοὺς πιθήκους εἰς βοήθειαν.



Ἐκ δὲ τοῦ οὐρανοῦ ἠκουσθήτην φλυᾱρία καὶ ῥοίζημα πτερῶν πολλῶν. Οἱ γὰρ πτηνοὶ πίθηκοι ὑπήκουον τῇ μαγικῇ τιάρᾳ [ᾱ].



Ἡ δὲ πονηρὰ γοῆτις ἐκέλευσε τοὺς πτηνοὺς πιθήκους τὸν λέοντα ἀβλαβῆ εἰς τὸ φρούριον αὐτῆς προσάγειν ἵνα εἰς δουλείαν καταβληθείη.



Οἱ δὲ πίθηκοι, θάσσοντες ὀρνίθων ἤτοι μελισσῶν, καταβάντες ἐπὶ Δωροθέαν τε καὶ τοὺς φίλους αὐτῆς, ἥρπασαν καὶ τὸν ξυλέα καὶ τὸ φόβητρον.



Αὐτίκα δὴ τὸ τοῦ φοβήτρου κνέφαλλον κατεκομίζετο ἐκ τοῦ οὐρανοῦ, καταλιπὸν μηδὲν πλὴν τῶν ἱματίων [ῑμ] αὐτοῦ τῶν φαύλων καὶ παλαιουμένων.



Δύο μὲν τῶν πιθήκων ἀφείσθην τὸν κασσιτέρινον ξυλέα εἰς πετρώδη τινά, ὁ δ' ἐκεῖ οὕτως ἐξεκόπη καὶ ἐξεκάμφθη ὥστε οὐ δύνασθαι κῑνηθῆναι.



Πᾶσα δὲ ἀγέλη τις τῶν ζῴων ἀφείλετο τὸν δειλὸν λέοντα προσδεδεμένον καίπερ δεινῶς βρῡχώμενον.



Ὁ δὲ τῶν πτηνῶν πιθήκων ἡγεμὼν ἰδὼν τὸ φίλημα τῆς ἀγαθῆς γοήτιδος τῶν βορείων ἐπὶ τοῦ μετώπου Δωροθέας ὄν, ἐπαύσατο.



Τὸ δὲ φίλημα τῆς ἀγαθῆς γοήτιδος, καίπερ Δωροθέαν ἀπὸ αὐτοῦ τοῦ κακοῦ φυλάσσον, οὐκ ἐκώλυεν τοὺς πιθήκους αὐτὴν ἀποφέρεσθαι.



Οἱ δὲ καταθέντες αὐτήν τε καὶ Τῶτον ἐπὶ τὴν κλίμακα [ῑ] τοῦ φρουρίου ἐξέπτοντο. Δωροθέα δὲ προείλετο μὴ τὴν πρεσβυτέραν γοήτιδα φοβεῖσθαι.



Ἡ μὲν πονηρὰ γοῆτις ἐκέλευσε Δωροθέαν ἀρυσαμένην ὕδωρ ἀποσμᾶν τὸ τοῦ μαγειρείου ἔδαφος. Δωροθέᾳ δ' ἔδοξε κράτιστον εἶναι πείθεσθαι.



Ἐπειδὴ Δωροθέα πρὸς τὸ φρέαρ ἐξῆλθεν, ἡ γοῆτις κατέθηκε μοχλὸν σιδηροῦν ἐν τῇ εἰσόδῳ ἵνα ἡ κόρη σφαλείη.



Καὶ γὰρ Δωροθέα ἐσφάλη μέν, τοῦ σιδηροῦ μοχλοῦ μαγικοῦ καὶ ἑαυτῆς ὄμμασιν ἀοράτου [ρᾶ] ὄντος. Οὐκ ἔπεσε δέ.



Οὕτως αἰσχρῶς μὲν ἤχει ἡ φωνὴ τῆς πονηρᾶς γοήτιδος, οὕτω φανερῶς δ' ἦν αὐτῇ γνώμη ἔχειν τὸ ἀργυροῦν ὑπόδημα, ὥστε Δωροθέα ὠργίσθη.



Ἡ μὲν ταχὺ ἔριψε πᾶν τὸ ἐκ τοῦ ὑδρείου ὕδωρ ἐπὶ τὴν γοήτιδα, ἡ δὲ ἀναβοῶσα θαυμαστῶς ἐπελήφθη.



Πρὸ γὰρ τῶν Δωροθέας ὀφθαλμῶν ἡ πονηρὰ γοῆτις ἐτήκετο καὶ ἐπέτρεχε τῷ ἐδάφει, ἐικυῖα τῷ σάκχαρι ὅταν ὀμβρία ᾖ.



Αὐτίκα δὴ τὸ καταλειφθὲν τῆς πονηρᾶς γοήτιδος τῶν δυσμῶν ἦν τέλμα. Τοῦτο δὲ Δωροθέα ἔμελλεν καθαρίζειν, ὅτε ἤκουσε βρῦχημα.



Ταχέως δ' εἰς αὐλὴν περίφρακτον ἐξελθοῦσα καὶ τὸν λέοντα εὑροῦσα, ἠλευθέρωσεν αὐτόν, διότι οὐδεμία πονηρὰ γοῆτις ἦν τοῦ κατέχειν αὐτήν.



Ὁπότε Δωροθέα ἀφῆκε τὸν λέοντα, τότε πολλοὶ τῶν ξανθῶν Σκαρδαμυκτῶν, ὧν ἡ πονηρὰ γοῆτις ἄρχουσα ἐπέπαυτο, κύψαντες ἔστασαν ἔμπροσθεν ἐκείνης.



Παραχρῆμα δὲ Δωροθέα διηγήσατο τοῖς Σκαρδαμυκταῖς ὅτι ἀνιῷτο περὶ τοῦ ἀνδρείου κασσιτερίνου ξυλέως καὶ τοῦ πιστοῦ φοβήτρου.



Διὸ οἱ Σκαρδαμυκταὶ οὐκ ἐμέλλησαν, ἀλλ' εἰς ἴλας [ῑ] κατασκόπων διαιρεθέντες, ὑπέσχοντο εὑρήσειν ὑπὲρ αὐτῆς καὶ τὸ φόβητρον καὶ τὸν κασσιτέρινον ξυλέα.



Οἱ δ' αὐθημερὸν εὑρόντες τὸν κασσιτέρινον ξυλέα, Δωροθέᾳ εἶπον τοὺς κασσιτερουργοὺς αὐτῶν οἵους τ' εἶναι ἐκεῖνον καινοποιῆσαι.



Καὶ πρὸ ἑσπέρας τὸ φόβητρον μεγαλοπρεπῶς εἰσελθὸν διηγήσατο πῶς αὐτὸ ἐπὶ δένδρου εὑρόντες καλάμης καθαρᾶς καὶ ἀκράτου ἐπλήρωσαν.



Οὐδενὸς οὖν Δωροθέαν τε καὶ τοὺς φίλους αὐτῆς ἐν τῷ φρουρίῳ κατέχοντος, ἐκείνη συνεσκευάσατο σῖτον ἐν κίστῃ. Ἔπειτα δέ....



Ἐντὸς τῆς μαγικῆς τιάρας [ᾱρ] τῆς γοήτιδος ἀνέγνω ὅπως αὐτῇ χρωμένη καλεῖ τοὺς πτηνοὺς πιθήκους ποιῆσαι ὅσα ἂν αὐτὴ αἰτήσῃ.




Τότε δὲ πεπεισμένη θέσθαι αὐτὸ κατὰ τὰ γράμματα εἰς μνήμην, λαβοῦσα τὴν μαγικὴν τιάρᾱν [ᾱ], ἐκρότησεν καὶ τὸν λόγον ἐποιήσατο.



Ἀμελλητὶ δ' οἱ μὲν πτηνοὶ πίθηκοι ὤφθησαν. Δωροθέα δὲ προσέταξε αὐτοῖς εὐθὺ ἄγειν ἑαυτήν τε καὶ τοὺς ἑαυτῆς φίλους πρὸς τὴν αὐλὴν τοῦ μάγου Ὄζου.




Οἱ δὲ φίλοι Δωροθέας, ὅσον οὐ γνόντες τὰ γιγνόμενα, ἡρπάσθησαν εἰς ἀέρα αὐτῇ τε καὶ Τώτῳ.





Τότε δὴ Δωροθέα μὲν οὐδὲ ἓν ἐφοβεῖτο. Οἱ δὲ πτηνοὶ πίθηκοι, εἰς Σμαραγδούπολιν ἀφικόμενοι, κύκλῳ κατέβησαν πρὸς τὰ βασίλεια.

Καὶ διὰ θυρίδος ὑψηλῆς εἰς τὴν αὐλὴν τοῦ μεγάλου Ὄζου.



Ἔπειτα Δωροθέα θαυμάζουσα ἐθεᾶτο τὸν κενὸν θρόνον. Οὐδὲν γὰρ χλωρὸν ἐν τῇ αὐλῇ ἦν ὡς αὐτὴ ἐμέμνητο.



Ὅτε δὲ πτέρυξ πιθήκου πτηνοῦ τινος κατέβαλε σκέπην, τότε Δωροθέα ἐσκόπησεν ἀνθρώπιον φαλακρόν τι ὄπισθεν ἑστός.



Λέγοντος δὲ αὐτοῦ, Δωροθέα πίστιν περὶ τῶν ἀκουομένων ὅσον οὐκ εἶχεν. Ὧδε γὰρ τοῦτο τὸ ἀνθρώπιον ἄδολον ἐφαίνετο καὶ σχεδὸν προβατῶδες.



Οὗτος δ' εἶπεν ὅτι εἴη δὴ ὁ μάγος Ὄζου. Τὴν δὲ γίγαντι ὁμοιότητα, ἔφη, τέχνημα εἶναι, οὕτω καὶ τὰ χλωρὰ δίοπτρα ἃ ὑπ' αὐτῶν φορεῖσθαι ἀναγκάσειε.



Τελευταῖος δ', ἔφη, ἐπ᾽ἀεροστάτου ἀναβὰς χαλεπῷ πνεύματι ἀχθῆναι εἰς ταύτην τὴν θαυμασίαν γῆν Ὄζου, ὅπου οἱ ἄνθρωποι νομίζουσί γ’ αὐτὸν μάγον εἶναι.



Δωροθέα μὲν ἰδοῦσα τὸν Ὄζον ψευδῆ δὴ ὄντα, οὕτως ἀπεσφάλη τῆς ἐλπίδος ὥστε κλαίειν καὶ ὁμοίως οἱ φίλοι αὐτῆς. Ὁ δ' Ὄζος ἐγέλασεν.




Καὶ ἔφη, ἐπειδὴ τὴν Δωροθέας μαγικὴν τιάρᾱν [ᾱ] διασαφεῖν τὴν πονηρὰν γοήτιδα τεθνηκυῖαν, αὐτοὺς πάντων, ὧν δέοιντο, παρ' ἑαυτοῦ τεύξεσθαι.



Πρῶτον μὲν οὖν, παρασχὼν τῷ δειλῷ λέοντι λήκυθον ὑγροῦ κεχρωσμένου μεστήν, ἔπεισεν αὐτὸν ὅτι θάρσος ἄκρατόν ἐστιν.




Ἔπειτα δέ, τοῦ εὐχαρίστου λέοντος ὠρυομένου, ὁ Ὄζος ἐπλήρωσε τὴν τοῦ φοβήτρου κεφαλὴν τῷ φαινομένῳ μὲν πρίσματα, ἐπισημαινομένῳ δ' ἐγκέφαλος εἶναι.



Καὶ κατατιθεὶς ἐντὸς τοῦ κασσιτερίνου ξυλέως καρδίαν μαλακὴν καὶ σηρικήν, Δωροθέᾳ εἶπεν ὅτι αὐτὸς ἐκείνην ἐπ᾽ ἀεροστάτου εἰς τὴν Κανσίαν ἀνοίσει.



Τρίων δὲ ἡμέρων ἐδέησεν Ὄζῳ τε καὶ Δωροθέᾳ πρὸς τὸ ἐκ σηρικῶν ῥακῶν συρραφέντων ἀεροστάτον γενέσθαι.


Τοῦ δ᾽ ἀεροστάτου τελευταῖον ποιηθέντος, ὁ μάγος Ὄζου ἐκέλευσεν αὐτὸ ὑπὲρ ἀνθράκων καιομένων πληρωθῆναι ἀέρος θερμοῦ.



Ἐξαίφνης δὲ τὸ ἀεροστάτον ἀνασταν εἷλκε τὸ κανοῦν. Ὅτε δὲ Δωροθέα χαίρειν ἤδη εἶπε τοῖς φίλοις,...



...τότε δὴ Τῶτος ἐσκίρτησεν ἐκ τῶν τῆς Δωροθέας βραχιόνων ἵνα αἴλουρον βαδίζουσαν διώκοι. Τοῦτο δὲ θᾶττον ἢ ὥστε Δωροθέαν ἐκεῖνον κατέχειν.



Ὅτε δ' αὕτη ἀνέβλεψε, τότε τὸ ἀεροστάτον ἤδη μετέωρον ὑπὲρ τῶν κεφαλῶν ὂν ταχέως ἀνίστατο, τοῦ μάγου Ὄζου ἐν τῷ κανῷ ἑστῶτος.



Τῷ δὲ τετάρτῳ λεπτῷ τό τε ἀεροστάτον καὶ ὁ μάγος Ὄζου ἐμειοῦντο ἀποχωροῦντες, τῶν δὴ ἄλλων ἀκρατῶν ὄντων.



Ὁ δὲ κασσιτέρινος ξυλεὺς καὶ τὸ φόβητρον παρεμῦθοῦντο Δωροθέαν λέγοντες ὅτι τάχα τὸ ἀεροστάτον μηδέποτε ἂν εἰς Κανσίαν ἀφίκετο.



Αὐτὸς δ' ὁ λέων ὁ πάλαι δειλὸς ἐβουλεύσατο θαυμαστόν τι δοκοῦν ὥστε εἰς ἐλπίδας Δωροθέαν ἀποκαθιστάναι.



Οὐδ' ἔφθη Δωροθέα καλέσασα τοὺς πτηνοὺς πιθήκους καὶ αὐτοὶ ἀφίκοντο ὡς τῇ τὴν μαγικὴν τιάρᾱν [ᾱ] φορούσῃ πεισόμενοι.



Ὁ δὲ τῶν πιθήκων ἡγεμὼν εἶπεν ὅτι ὁ ἑαυτοῦ λαὸς οὐ δύναται ἀποχωρεῖν ἀπὸ τῆς γῆς Ὄζου. Δωροθέα μὲν ὅσον οὐκ ἔκλαυσε, τὸ δὲ φόβητρον...



Τὸ δὲ φόβητρον ἐξαίφνης ἐνενόησέ τι · διὰ τί Δωροθέα οὐκ ἂν ἐπισκοποίη τὴν ἀγαθὴν γοήτιδα τοῦ νότου; Οἱ γὰρ πτηνοὶ πίθηκοι φέροιεν ἂν αὐτὴν ἐκεῖσε.




Δωροθέα δ' ἀπεκρίνατο [ῑ] ὅτι ἐκείνη μὲν εὐβουλία ἐστίν, αὐτὴ δὲ οὐδὲ καιρὸν προησομένη ἐπιχειρήσει τῷ ἔργῳ.



Οὐδ' ἔφθη ταῦτα λεχθέντα καὶ οἱ πτηνοὶ πίθηκοι ἀνήρπασαν Δωροθέαν. Ἡ δ' ἡδέως ἂν ἔμαθεν τί εἰ ἡ ἀγαθὴ γοῆτις μὴ θέλοι;



Αὐτίκα δέ, τῆς γῆς Ὄζου ὑπὸ ταῖς τῶν πιθήκων κραταιαῖς πτέρυξιν ὑπαναχωρούσης, πύργος λευκόλιθός τις ἀπὸ μακρόθεν ἐφάνη.



Ἡ δ' ἀγαθὴ γοῆτις οὖσα κόρη χαρίεσσα ἐδόκει εὐθὺς εἰδέναι τίς Δωροθέα ἐστὶ καὶ διὰ τί ἐλήλυθεν.



Γλίνδα δ' ἡ ἀγαθὴ γοῆτις μειδιῶσα εἶπεν ὅτι μόνον δέοι Δωροθέαν συγκρούσασαν τὰ ἀργυρᾶ ὑποδήματα βούλεσθαι οἴκαδε ἐλθεῖν.



Τότε δὲ Γλίνδα ἀναστᾶσα ἐφίλησε Δωροθέαν ἀπιοῦσαν. Καὶ ἔφη μόνον δεῖν τὰ ἀργυρᾶ ὑποδήματα προβαίνειν τρία βήματα ὥστε ἀναφέρειν αὐτὴν εἰς τὴν Κανσίαν.



Δωροθέα οὖν τρὶς συγκρούσασα τὰ ἀργυρᾶ ὑποδήματα καὶ λαβομένη Τωτίσκου, ηὔξατο.


Καὶ οὕτω ταχέως ὥς τις προβαίνοι ἂν ὀξέα βήματα τρία, ἐκείνη τε καὶ Τῶτος ἐπὶ τῆς τῶν τῆς Κανσίας ἀγρῶν πόας ἐκυλινδοῦντο, οὐ μακρὰν ἀπὸ τοῦ καινοῦ οἴκου τῆς θείας Ἔμμης.



Ἔπειτα δ' ἀνέστη ὥστε ὁρᾶν τήν τε θείαν Ἔμμαν καὶ τὸν θεῖον Ἐνρῖκον πρὸς ἑαυτὴν τρέχοντε. Καὶ γάρ τοι ἥσθη ἐπὶ τοῦ ἐπιδημεῖν.



Πολλάκις δ'ἐν τῷ ἐπιόντι χρόνῳ Δωροθέα οὐχ οἵα τ' ἦν μὴ ἑαυτὴν ἐρωτᾶν πότερόν ποτε ὁ μάγος εἰς Κανσίαν ἀφίκοιτο ἤ πως εἰς τὴν γῆν Ὀζου σῶος ἐπανέλθοι.